UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Asclepio Sophistæ. 23.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

munita fuerit, hoſtes facilè ſuperabit: ſi autem in peccatum proruperit, hîc quidē turpulentorum affectuum igne conflagrabit, illic autē iudicij flamma cruciabitur.

Aſclepio Sophiſtæ. 23.

Cùm Xerxes, ô Sophiſta (nam à tuis hiſtoriis tecum agam) inuito ratibus Helleſponto Athenienſium animos ſeruitutis iugo premere minimè potuerit, verùm quamuis nihil non tentaret, atque etiam impoſitam elementis legem innouaret, eos tamen ab animi propoſito haudquaquam dimouerit, tu tamen ſolo conſilio perfecturum exiſtimaſti, vt animum noſtrum dimoueas, atque ad blandiendum & adulandum inflectas. An non autē hoc abſurdum eſt? Quocirca eiuſmodi quædam cōſilia nobis dare deſine. Sin minus, ex amicorum choro te ſecernemus.

Martyrio Lectori. 24.

Acris atque ad omnia audax pecuniarum amor, nec ſatietatem vllam ſentiens, animam eam, quam ceperit, in extremum malorum præcipitem agit. Quocirca maximè in primordiis eum abigamus. Nam ſi ſemel vicerit, nulla poſtea ratione vinci poterit.

Syrioni. 25.

Generoſus ille Paulus, præſtantiſſimus inquam ille dux, qui regis electioni minimè dedecori fuit, atque vt nihil omnino aliud quàm Eccleſiæ vtilitatem ob oculos propoſitam habens, priuata commoda negligebat, & aliorum errata corrigebat, omnia ad Eccleſiæ ædificationē fieri oportere clamabat. Nos contrà, vt qui gloriā noſtram ſpectemus, id quod noſtris rebus conducere videtur, Eccleſiæ vtilitati anteponimus. Atqui Eccleſiæ gloria omnino ad nos quoque redundat, noſtra autem non omnino ad commune commodum tranſit. Nam ſi, vt noſipſos commendare videamur, proximorum ædificationem nihili pendamus, an non iactura lucrum ſuperabit.

δίως τοὺς πολεμίους καταγωνιεῖται, ὅταν δ' ἁμάρτῃ, ἐνταῦθα μὲν τῷ πυρὶ τῶν παθῶν ἁλώσεται· ἐκεῖσε δὲ τῷ τῆς κρίσεως τιμωρηθήσεται.

Ἀσκληπιῷ σοφιστῷ. κγ.

Εἰ Ξέρξης, ὦ σοφιστά, ἀπὸ γὰρ τῶν σῶν σοι διαλέξομαι, τὸν Ἑλλήσποντον ζεύξας, τὸ τῶν Ἀθηναίων φρόνημα οὐκ ἠδυνήθη ζεῦξαι τῷ τῆς δουλείας ζυγῷ· ἀλλὰ πάντα μὲν ἐκίνει, καὶ τὸν ταγέντα τοῖς στοιχείοις ἐκενοτόμει θεσμόν, ἐκείνους δὲ τῶν δεδογμένων οὐ μετεκίνει· σὺ ἀπὸ συμβουλῆς ψιλῆς ἐνόμιζες ἡμῶν μετακινεῖν τὸ φρόνημα, καὶ εἰς θωπείαν τρέπειν. καὶ πῶς οὐκ ἄτοπον. πέπαυσο τοίνυν τοιαῦτά τινα ἡμῖν παραινῶν· εἰ δὲ μὴ τοῦ χοροῦ τῶν φίλων σε ἀποκρινοῦμεν.

Μαρτυρίῳ ἀναγνώστῃ. κδ.

Ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας ἔρως, κόρον οὐκ εἰδὼς, ἐπὶ τὸ ἔσχατον τῶν κακῶν τὴν ἁλοῦσαν ψυχὴν ἐλαύνει. οὐκοῦν μάλιστ' ἐν προοιμίοις αὐτὸν ἀπελάσωμεν. κρατήσας γὰρ, ἀχείρωτος ἔσται.

Συρίωνι. κε.

Ὁ γενναῖος Παῦλος, ὁ ἄριστος στρατηγὸς, ὁ τοῦ βασιλέως τὴν χειροτονίαν μὴ ἀτιμάσας, ὁ τὰ καθ' ἑαυτὸν παριδὼν, ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσηται, ἅτε μηδὲν πλέον ὁρῶν τοῦ τῆς ἐκκλησίας συμφέροντος, ἐπεβόα χρῆναι πάντα πρὸς οἰκοδομὴν γίνεσθαι τῆς ἐκκλησίας. ἡμεῖς δὲ τὸ φαινόμενον ἡμῖν συμφέρον. πρὸς δόξαν γὰρ ἑαυτῶν ὁρῶμεν, τοῦ τῆς ἐκκλησίας προτιμῶμεν. καί τοι τὸ τῆς ἐκκλησίας κλέος, πάντως καὶ εἰς ἡμᾶς ἀνατρέχει· ἡ δὲ ἡμῶν δόξα, οὐ πάντως εἰς τὸ κοινὸν διαβαίνει. εἰ γὰρ ἵν' ἑαυτοὺς δόξωμεν συνιστᾶν τῆς τῶν πέλας ὀλιγωροίημεν οἰκοδομῆς, πῶς οὐ μείζων ἔσται τοῦ κέρδους ἡ ζημία.

Κασίῳ